F *ἐκλεγόμενοι παραπηγνύουσιν, ὥσπερ γυναιξὶν ⟨πολυ⟩γα-
λακτούσαις ἕτερα ⟨βρέφη⟩ προσβάλλοντες. πεύκην δὲ καὶ
κυπάριττον καὶ τὰ τοιαῦτα πάντα γλίσχρα καὶ ἀγεννῆ τοῖς*
641 *καρποῖς ὁρῶμεν. | ὥσπερ γὰρ οἱ πολυσαρκίᾳ κεχρημένοι
καὶ ὄγκῳ ὡς ἐπὶ τὸ πλεῖστον ἄτεκνοι (τὴν γὰρ τροφὴν εἰς
τὸ σῶμα καταναλίσκοντες οὐ ποιοῦσιν ἐξ αὐτῆς περίττωμα
σπερματικόν), οὕτω τὰ τοιαῦτα δένδρα τῆς τροφῆς ἀπο-
λαύοντα, πάσης εἰς αὐτὰ δαπανωμένης, εὐσωματεῖ τοῖς
μεγέθεσι καὶ αὔξάνεται, καρπὸν δὲ τὰ μὲν οὐ φέρει τὰ
δὲ φέρει μικρὸν καὶ συντελούμενον βραδέως· ὥστ' οὐ δεῖ
θαυμάζειν, εἰ μὴ φύεται τἀλλότριον, ἐν ᾧ κακῶς τρέφεται
καὶ τὸ οἰκεῖον.'*

## ΠΡΟΒΛΗΜΑ Ζ

*Περὶ τῆς ἐχενηίδος*

Colloсuntur Chaeremonianus, Plutarchus, alii

**1.** *Χαιρημονιανὸς ὁ Τραλλιανὸς ἰχθυδίων ποτὲ*
B *παντοδαπῶν παρατεθέντων ἓν ἐπιδείξας ἡμῖν ὀξὺ τῷ
κεφαλίῳ καὶ πρόμηκες ἔλεγε τούτῳ προσεοικέναι τὴν
ἐχενηίδα· θεάσασθαι γὰρ πλέων ἐν τῷ Σικελικῷ καὶ θαυ-
μάσαι τὴν δύναμιν, οὐκ ὀλίγην βραδυτῆτα καὶ διατριβὴν
παρὰ τὸν πλοῦν ἀπεργασαμένης τῆς ἐχενηίδος, ἕως ὑπὸ
τοῦ πρῳρέως ἑάλω προσεχομένη τῷ τοίχῳ τῆς νεὼς
ἔξωθεν. ἦσαν μὲν οὖν οἱ καταγελῶντες τοῦ Χαιρημονιανοῦ
ὡς πλάσμα μυθῶδες παραδεδεγμένου καὶ ἄπιστον, ἦσαν
δὲ καὶ οἱ τὰς ἀντιπαθείας θρυλοῦντες, καὶ ἄλλα πολλὰ*